Ἀρίων καὶ ὁ δελφίς

ἦν δέ ποτε ἐν Κορίνθῳ κιθαρῳδός τις, Ἀρίων ὀνόματι. καὶ οὗτος ἄριστος ἦν, ὡς λέγουσι, τῶν τότε κιθαρῳδῶν. πολὺν χρόνον ἔμενε παρὰ τῷ Περίανδρῳ, τῷ τῆς Κορίνθου τυράννῳ.



Περίανδρος

Ἄριστος εἶ, ὡς λέγουσι.

Ἀρίων

Κἀγὼ τοῦτο λέγω.

ὕστερον δ’ ἐβούλετο εἰς Ἰταλίαν τε καὶ Σικελίαν πλεῦσαι. πολλὰ δὲ χρήματα ἐκεῖ δεξάμενος διὰ τὴν τῆς κιθάρας τέχνην, ἐβούλετο πρὸς Κόρινθον ἐπανελθεῖν. εὗρεν οὖν ναῦν Κορινθίων τινῶν ἐν τῇ Ἰταλίᾳ ὄντων, πιστεύων οὐδὲν μᾶλλον ἢ τοῖς Κορινθίοις. καὶ ἀπέπλευσαν ἐκ Τάραντος.



Ἀρίων

Τοῖς Κορινθίοις πιστεύω!

οἱ δὲ ναῦται, ἀπὸ τῆς γῆς ἤδη ἑκὰς ὄντες, ἐβουλεύσαντο τὸν Ἀρίωνα ἐκβαλόντες τὰ χρήματα κλέψαι.



Ναύτης

Πολλὰ χρήματα!

Ἄλλος ναύτης

Ἡμῖν, ὡς ἐλπίζω.

Ἀρίων καὶ ὁ δελφίς

ὁ δέ, τοῦτο μαθών, ἠτησεν αὐτοὺς τὰ μὲν χρήματα λαβεῖν, ἑαυτὸν δὲ σῶσαι. οἱ μέντοι ναῦται οὐδαμῶς ἐπείσθησαν, ἀλλ' ἐκέλευσαν αὐτὸν ἢ ἑαυτὸν ἀποκτεῖναι ἢ εἰς τὴν θάλασσαν ἐκπηδῆσαι.



Ἀρίων

Τὰ χρήματα λάβετε· ἐμὲ δὲ σώσατε!

Ναύτης

Εἰς τὴν θάλασσαν ἐκπήδησον!

ὁ δ' Ἀρίων, "πρῶτον," ἔφη, "ἐάσατέ με κιθαρίζειν." καὶ ὑπέσχετο τοῦτο ποιήσας εἰς τὴν θάλασσαν ἐκπηδήσειν.



Ἀρίων

Πρῶτον ἐάσατέ με κιθαρίζειν.

Ναύτης

Μόνον μὴ μακρὰ ᾄδε!

οἱ δὲ ναῦται, ἡδόμενοι διότι τοῦ ἀρίστου κιθαρῳδοῦ ἀκούσεσθαι ἔμελλον, ἐδέξαντο τοὺς λόγους· καὶ εἰς μέσην τὴν ναῦν εἰσῆλθον ὡς ἀκουσόμενοι. ἔπειτα δὲ ὁ Ἀρίων, φορῶν πᾶσαν τὴν σκευὴν καὶ τὴν κιθάραν λαβών, διεξῆλθε τὸν ὄρθιον νόμον.



Ναύτης

Ὁ ἄριστος κιθαρῳδός!

Ἄλλος ναύτης

Καὶ οὐδὲν δίδομεν!

Ἀρίων καὶ ὁ δελφίς

καὶ τοῦτο ποιήσας εἰς τὴν θάλασσαν ἐξεπήδησε σὺν πάσῃ τῇ σκευῇ. οἱ δὲ ναῦται πρὸς τὴν Κόρινθον ἀπέπλευσαν.



Ναύτης

Νῦν τὰ χρήματα ἡμέτερα!

τὸν δ' Ἀρίωνα δελφίς τις, ὡς λέγουσιν, ὑπολαβὼν, εἰς τὴν Ταίναρον ἤνεγκεν.



Ἀρίων

Δελφῖνι μᾶλλον ἢ ναύταις πιστεύω.

ἔπειτα δὲ ὁ κιθαρῳδός, πᾶσαν τὴν σκευὴν ἔτι ἔχων, πρὸς τὴν Κόρινθον κατὰ γῆν ἐπορεύετο· καὶ ἀφικόμενος εἶπε τῷ Περιάνδρῳ πάντα τὰ γενόμενα. ὁ δὲ τύραννος, τοῖς λόγοις οὐ πιστεύων, ἐκέλευσε τὸν Ἀρίωνα φυλάσσεσθαι, καὶ τοὺς ναύτας ἔμενε.



Ἀρίων

Δελφίς με ἔσωσεν.

Περίανδρος

Δελφίς; Τοὺς ναύτας ἀναμένω.

Ἀρίων καὶ ὁ δελφίς

ἐπεὶ δὲ παρῆσαν, ὁ Περίανδρος ἠρώτησεν αὐτοὺς περὶ τοῦ Ἀρίονος. οἱ δὲ ἀπεκρίναντο ὅτι ἔλιπον αὐτὸν εὖ πράσσοντα ἐν Ἰταλίᾳ.



Περίανδρος

Ποῦ ἐστιν Ἀρίων;

Ναύτης

Ἐν Ἰταλίᾳ. Εὖ πράττει!

τῶν δὲ ναυτῶν ἔτι λεγόντων, ὁ Ἀρίων, πᾶσαν τὴν σκευὴν ἔτι καὶ νῦν ἔχων, ἐπιφαίνεται αὐτοῖς.



Ἀρίων

Χαίρετε, ὦ φίλοι!

Ναύτης

Οἴμοι!

οἱ οὖν ναῦται ὡμολόγησαν τί ἐγένετο.



Ναύτης

Πάντα ὁμολογοῦμεν.

Περίανδρος

Νῦν ἀληθῆ λέγετε.